## ΕΙΣ ΑΜΠΕΛΟΝ, κεφ. β.

### ΦΙΛΙΠΠΟΥ.

Τίς σε πάγος δυσέρημος, ἀνήλιος ἐξέθρεψεν;
  Ἡ βορέου σκυθίης, ἄμπελον ἀγριάδα,
Ἡ κελτῶν νιφοβλῆτις ἀεὶ κρυμώδεες ἄλπεις,
  Τῆς τε σιδηροτόκου βῶλος ἰβηριάδος;
Ἡ σοῦ ὀμφακοεργὰς ἐγείνας τοὺς ἀπεπάντους
  Βότρυας οἳ συφελῶς ἐξέχεον σταγόνα.
Δίζημαι λυκόοργε τεὰς χέρας, ὡς ἀπὸ ῥίζης
  Κλήματος ὠμοτόκου βλαστὸν ὅλον θερίσῃς.

### ΑΔΗΛΟΝ.

Τίς ποτ' ἀκηδέστως οἰνοτρόφον ὄμφακα βάκχου
  Ἀνὴρ ἀμπελίνου κλήματος ἐξέταμεν;
Χείλεα δ' ὁ συφθεὶς χαμάδις βάλεν, ὡς ἂν ὁδίταις
  Εἴη νεισομένοις ἡμιδαὲς σκύβαλον.
Εἴη οἱ διόνυσος ἀνάρσιος οἷα λυκούργῳ,
  Ὅτι μιν αὐξομέναν ἔσβεσεν εὐφροσύναν.
Τοῦδε γὰρ ἂν τάχα τις διὰ πώματος ἢ πρὸς ἀοιδὰς
  Ἤλυθεν, ἢ γοεροῦ κήδεος ἔσχε λύσιν.

## ΕΙΣ ΑΝΑΘΗΜΑΤΑ, κεφ. γ.

### ΛΕΟΝΙΔΟΥ.

Οὐκ ἐμὰ ταῦτα λάφυρα· τίς ὁ θριγκοῖσιν ἀνάψας
  Ἄρηος ταύταν τὰν ἄχαριν χάριτα;
Ἄκλαστοι μὲν κῶμοι, ἀναίμακτοι δὲ γανῶσαι
  Ἀσπίδες, ἄκλαστοι δ' αἱ κλαδαραὶ κάμακες.

Αἰδεῖ